ἀνὴρ αὐτῆς μετ᾽ αὐτῆς κλαίων ὀπίσω αὐτῆς ἕως Βαρακιμ· καὶ
εἶπεν πρὸς αὐτὸν Αβεννηρ Πορεύου ἀνάστρεφε· καὶ ἀνέστρεψεν.
— [17]καὶ εἶπεν Αβεννηρ πρὸς τοὺς πρεσβυτέρους Ισραηλ λέγων 17
Ἐχθὲς καὶ τρίτην ἐζητεῖτε τὸν Δαυιδ βασιλεύειν ἐφ᾽ ὑμῶν· [18]καὶ 18
νῦν ποιήσατε, ὅτι κύριος ἐλάλησεν περὶ Δαυιδ λέγων Ἐν χειρὶ
τοῦ δούλου μου Δαυιδ σώσω τὸν Ισραηλ ἐκ χειρὸς ἀλλοφύλων
καὶ ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτῶν. [19]καὶ ἐλάλησεν Αβεννηρ 19
ἐν τοῖς ὠσὶν Βενιαμιν. καὶ ἐπορεύθη Αβεννηρ τοῦ λαλῆσαι εἰς τὰ
ὦτα τοῦ Δαυιδ εἰς Χεβρων πάντα, ὅσα ἤρεσεν ἐν ὀφθαλμοῖς
Ισραηλ καὶ ἐν ὀφθαλμοῖς παντὸς οἴκου Βενιαμιν.
[20]Καὶ ἦλθεν Αβεννηρ πρὸς Δαυιδ εἰς Χεβρων καὶ μετ᾽ αὐτοῦ 20
εἴκοσι ἄνδρες. καὶ ἐποίησεν Δαυιδ τῷ Αβεννηρ καὶ τοῖς ἀνδράσιν
τοῖς μετ᾽ αὐτοῦ πότον. [21]καὶ εἶπεν Αβεννηρ πρὸς Δαυιδ Ἀναστή- 21
σομαι δὴ καὶ πορεύσομαι καὶ συναθροίσω πρὸς κύριόν μου τὸν
βασιλέα πάντα Ισραηλ καὶ διαθήσομαι μετὰ σοῦ διαθήκην, καὶ
βασιλεύσεις ἐπὶ πᾶσιν, οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ ἀπέστειλεν
Δαυιδ τὸν Αβεννηρ, καὶ ἐπορεύθη ἐν εἰρήνῃ. — [22]καὶ ἰδοὺ οἱ παῖ- 22
δες Δαυιδ καὶ Ιωαβ παρεγίνοντο ἐκ τῆς ἐξοδίας καὶ σκῦλα πολλὰ
ἔφερον μετ᾽ αὐτῶν· καὶ Αβεννηρ οὐκ ἦν μετὰ Δαυιδ εἰς Χεβρων,
ὅτι ἀπεστάλκει αὐτὸν καὶ ἀπεληλύθει ἐν εἰρήνῃ. [23]καὶ Ιωαβ καὶ 23
πᾶσα ἡ στρατιὰ αὐτοῦ ἤχθησαν, καὶ ἀπηγγέλη τῷ Ιωαβ λέγοντες
Ἥκει Αβεννηρ υἱὸς Νηρ πρὸς Δαυιδ, καὶ ἀπέσταλκεν αὐτὸν καὶ
ἀπῆλθεν ἐν εἰρήνῃ. [24]καὶ εἰσῆλθεν Ιωαβ πρὸς τὸν βασιλέα καὶ εἶ- 24
πεν Τί τοῦτο ἐποίησας; ἰδοὺ ἦλθεν Αβεννηρ πρὸς σέ, καὶ ἵνα τί
ἐξαπέσταλκας αὐτὸν καὶ ἀπελήλυθεν ἐν εἰρήνῃ; [25]ἢ οὐκ οἶδας τὴν 25
κακίαν Αβεννηρ υἱοῦ Νηρ, ὅτι ἀπατῆσαί σε παρεγένετο καὶ γνῶναι
τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου καὶ γνῶναι ἅπαντα, ὅσα σὺ
ποιεῖς; [26]καὶ ἀνέστρεψεν Ιωαβ ἀπὸ τοῦ Δαυιδ καὶ ἀπέστειλεν ἀγ- 26
γέλους ὀπίσω Αβεννηρ, καὶ ἐπιστρέφουσιν αὐτὸν ἀπὸ τοῦ φρέατος
τοῦ Σεῖραμ· καὶ Δαυιδ οὐκ ᾔδει. [27]καὶ ἐπέστρεψεν Αβεννηρ εἰς 27
Χεβρων, καὶ ἐξέκλινεν αὐτὸν Ιωαβ ἐκ πλαγίων τῆς πύλης λαλῆσαι

16 μετ αυτης > *O*-A*L*† | κλαιων] pr. πορευομενος και *L*† | βαρακ(ε)ιμ *L*] μ > B, βαουρειμ *O*† || 17 ειπεν αβεννηρ ... λεγων] λογος α. εγενετο ... και ειπεν *L*† | εζητειτε] ητε ζητουντες (uel ζητουντες ητε) *L*† || 18 του δουλου μου / δαυιδ] tr. *O*† || 19 αβεννηρ 1°] pr. και γε *O*-A, + και γε A, + και *L*† | του 2° > *OL* || 21 κυριον BA*†] pr. τον *OL* | παντα] pr. τον A† | μετα σου] μετ αυτου BA | επορευθη *L*] -θησαν BA (*O*-A om. και ult. — fin.) || 22 εφερον(B† -ραν) / μετ αυτων] tr. *O*† | εις] εν A*L* || 23 ηχθησαν B*O*†] ηκουσαν *L*†, ηλθοσαν M || 24 εισηλθεν] απηλθεν A† | απεληλυθεν] απηλθεν *O*† || 25 η > A† | παραγεγονεν A† | εξοδον ... εισοδον] tr. *O*-A*L* || 26 ανεστρ.] εξηλθεν *L*† | σε(ε)ιραμ B*O*] -ρα *L*† || 27 αβεννηρ *L*†] pr. τον BA, pr. ιωαβ τον *O*-A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/623 UNIVERSITÄT LEIPZIG